Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XVIII. Quòd post abdicationem Diocletiani & Maximiani, Constantius primus Augustus fuit, numerosa prole insignis.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Ὅτι Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἀποδυσαμένων, πρῶτος ἦν λοιπὸν Αὔγουστος ὁ Κωνστάντιος ἐν εὐτεκνίᾳ κομῶν.

Τούτοις δ' ἐγλύφεν αὐτῷ τὰ τῆς ἐκ Θεοῦ παρακολουθεῖ ἀμοιβῆς. ὡς ἤδη καὶ πρωτείων τῆς αὐτοκρατορικῆς ἀρχῆς μεταχεῖν. οἱ μὲν γὰρ τῷ χρόνῳ προάγοντες, οὐκ οἶδ' ὅπως ὑπεξίσταντο τῆς ἀρχῆς. αὐτοῖς ἀθρόας μεταβολῆς μετὰ τὸ πρῶτον ἔτος τοῦ τῶν ἐκκλησιῶν πολιορκίας ἐπισκηψάσης. μόνος δὲ λοιπὸν Κωνστάντιος πρῶτος Αὔγουστος καὶ Σεβαστὸς ἀνηγορεύετο. τὸ μὲν κατ' ἀρχὰς τῷ τῶν αὐτοκρατόρων Καισάρων διαδήματι λαμπρυνόμενος καὶ τούτων ἀπειληφὼς τὰ πρῶτα. μετὰ δὲ τὴν ἐν τούτοις δοκιμὴν, τῇ τῶν ἀνωτάτω παρὰ Ῥωμαίοις ἐκοσμεῖτο τιμῇ. πρῶτος Σεβαστὸς, τεττάρων τῶν ὕστερον ἀναδειχθέντων χρηματίσας. ἀλλὰ καὶ εὐτεκνίᾳ μόνος παρὰ τοὺς πολλοὺς αὐτοκράτορας διήνεγκε, παίδων ἀρρένων καὶ θηλειῶν μέγιστον χορὸν συστησάμενος. ἐπειδὴ δὲ πρὸς αὐτῷ λιπαρῷ γήρᾳ, τῇ κοινῇ φύσει τὸ χρεὼν ἀποδιδοὺς, λοιπὸν τοῦ βίου μεταλλάττειν ἔμελλεν. ἐνταῦθα πάλιν ὁ Θεὸς παραδόξων αὐτῷ ποιητὴς ἀνεφαίνετο ἔργων. μέλλοντι τελευτᾶν, τὸν πρῶτον τῶν παίδων Κωνσταντῖνον εἰς ὑποδοχὴν τῆς βασιλείας παρεῖναι οἰκονομησάμενος.

Caput XVIII.

Quòd poſt abdicationem Diocletiani & Maximiani, Conſtantius primus Auguſtus fuit, numeroſa prole inſignis.

PОrrò eas ob res non diu poſthac mercedem à Deo eſt conſecutus: in tantum ut primum Imperii locum obtineret. Nam cùm ſeniores Auguſti neſcio quo pacto Imperio ſe abdicaſſent; quæ repentina mutatio, proximo poſt Eccleſiarum everſionem anno illis contigit; ſolus exinde Conſtantius primus Auguſtus renuntiatus eſt. Qui initio quidem Cæſarum diademate cum Galerio decoratus, priorem gradum obtinuerat: poſteà verò cùm in illa Cæſaris dignitate egregium ſui ſpecimen edidiſſet, ſummum apud Romanos honoris faſtigium adeptus eſt; inter quatuor qui poſtmodum deſignati ſunt, primus Auguſtus appellatus. Sed & numeroſæ ſobolis præſtantiâ reliquos Imperatores ſuperavit; maximo liberorum utriuſque ſexus choro circundatus. Denique cùm in extrema ſenectute poſitus, debitum communi naturæ perſoluturus atque ex hac luce migraturus eſſet, ibi Deus admirabilem potentiam ſuam ei denuò exhibens, providit ut filiorum ipſius natu maximus Conſtantinus jamjam morituro ad capeſſendum Imperium præſto eſſet.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Περὶ τοῦ υἱοῦ Κωνσταντίνου, νεανίου ἅμα Διοκλητιανῷ τὸ πρὶν εἰς Παλαιστίνην παραγινομένου.

Συνῆν μὲν γὰρ ἤδη τοῖς τῆς βασιλείας κοινωνοῖς. καὶ μέσοις αὐτοῖς, ὡς εἴρηται, κατ' αὐτὸν ἐκεῖνον τὸν παλαιὸν τοῦ Θεοῦ προφήτην τὰς διατριβὰς ἐποιεῖτο. ἤδη δ' ἄχει καὶ παιδὸς ἐπὶ τὸν νεανίαν διαβὰς, τιμῆς τῆς πρώτης παρ' αὐτοῖς ἠξιοῦτο· οἷον αὐτὸν καὶ ἡμεῖς ἔγνωμεν, τὸ Παλαιστινῶν διερχόμενον ἔθνος, σὺν τῷ πρεσβυτέρῳ τῶν βασιλέων. οὗ καὶ ἐπὶ δεξιὰ παρεστὼς, περιφανέστατος ἦν τοῖς ὁρᾶν θέλουσιν, οἷός τε βασιλικοῦ φρονήματος ἐξ ἐκείνου τεκμήρια παρέχων. σώματος μὲν γὰρ εἰς κάλλους ὥραν, μεγέθους τε ἡλικίας, οὐδ' ἦν αὐτῷ παραβαλεῖν ἕτερον· ῥώμῃ δ' ἰσχύος τοσοῦτον ἐπλεονέκτει τοὺς ὁμήλικας, ὡς καὶ φοβερὸν αὐτοῖς εἶναι· ταῖς δὲ κατὰ

Caput XIX.

De filio ejus Conſtantino, qui adhuc adoleſcens unà cum Diocletiano in Palæſtinam venit.

QUippe hic unà cum Imperatoribus patris ſui collegis verſabatur, & quemadmodum vetus ille Dei Propheta Moſes in medio illorum, ſicut jam diximus, degebat. Cùmque tranſactâ pueritiâ jam adoleſcentiæ annos ingreſſus eſſet, ſummo in honore apud ſupradictos Imperatores erat. Cuiuſmodi nos quoque eum vidimus, cùm per Palæſtinam Provinciam tranſiret unà cum ſeniore Auguſto. Ad cujus dextram aſſiſtens, cunctis qui videndi deſiderio tenebantur præſtantiſſimus apparebat; & qui regiæ cujuſdam celſitudinis animi jamtum indicia præberet. Nam quod ad pulchritudinem & proceritatem corporis attinet, nemo erat qui cum illo conferri poſſet. Sed & virium robore adeò inter æquales eminebat, ut ab illis etiam formidaretur. Animi verò virtu-